μαστιγία.
(Πυ.) τί] σ̣’ ἠδίκηκα, Σώστρατε;
(Σω.) . . . . . . . .] εἰς τὸ χωρίον τι δηλαδὴ
. . .].[.]λ̣[.]’ ἔκλ⌋επτον.
(Σω.) ἀλλ’ ἐμαστίγου σέ τις
οὐδὲν ἀδικ⌋οῦντα;
Πυ. καὶ πάρεστί γ’ οὑτοσὶ
αὐτός. ὑπάγω,⌋ βέλτιστε, σὺ δὲ τούτῳ λάλει.
Σω. οὐκ ἂ̣[ν] δυν⌋αίμην· ἀπίθανός τίς εἰμ’ ἀεὶ
ἐν τῷ λαλεῖν. ποῖον λέγει[ν δεῖ τουτο]νί;
οὐ πάνυ φιλάνθρωπον βλ[έπειν μ]οι φαίνεται,
μὰ τὸν Δί’. ὡς δ’ ἐσπούδακ’. ἐπ̣[ανά]ξω βραχὺ
ἀπὸ τῆς θύρας· βέλτιον. ἀλλ’ Ἄρ̣[η β]οᾷ̣
μόνος βαδίζων· οὐχ ὑγιαίνειν μοι δοκεῖ.
δέδοικα μέντοι, νὴ τὸν Ἀπόλλω καὶ θεούς,
αὐτόν· τί γὰρ ἄν τις οὐχὶ τἀληθῆ λέγοι;
ΚΝΗΜΩΝ
εἶτ’ οὐ μακάριος ἦν ὁ Περσεὺς κατὰ δύο
τρόπους ἐκεῖνος; ὅτι πετηνὸς ἐγένετο
κοὐδενὶ συνήντα τῶν βαδιζόντων χαμαί,